# Lexicon Messanense de iota ascripto.

In Regiae Bibliothecae Messanensis codice S. Salv. 118 (olim monasterii S. Salvatoris; est membranac. saec. XIII. 18×13 cm. foll. 283) post tria in Hermogenem commentaria — incerti auctoris primum, Syriani alterum et tertium — scriptum est parvum lexicon, a littera μ ad ω, quod egregia doctrina grammatica ignotorumque adhuc fragmentorum satis magno numero insigne est. congesta sunt verba, in quibus dubitari posse videbatur, essetne ponendum ῑ προσγεγραμμένον necne[1]. similia aut ad verbum eadem atque in hoc lexico saepius etiam alibi leguntur imprimis in Etymologico Magno. qui praesto mihi essent loci similes, eos in annotatione sive exscribere sive monstrare haud abs re esse duxi; facile eos augebit, qui in illa provincia versatur.

Codicis ultima folia, quae nunc quidem sunt ultima (plura enim quondam ut in initio sic in fine erant), pessime servata sunt; ex foll. 282 et 283 membranae non parva pars evulsa est; aliis locis (imprimis fol. 283 v) litterae umore deletae sunt. si quondam iterum examinaro codicem, spero quaedam melius lecta me propositurum esse. — compluribus locis, quos male me descripsisse suspicarer, intercedente liberalissimo bibliothecae Messanensis praefecto Cav. G. Caracciolo universitatis professor humanissimus Fraccaroli petenti mihi benigne obsecutus iterum codicem examinavit; utrique viro doctissimo gratiam hac de causa habeo maximam.

Quot litteris spatium praebeant lacunae (doleo vehementer, quod non notavi millimetr. spatium), nunquam potest confirmari; scripsi sic ut mihi videbatur. ut lacunae recte possint expleri, opus est paucis monstrare abbreviationes, quas librarius imprimis in versuum fine adhibuit; ceterum sunt admodum rarae. εὐριπι$^{\delta}$ aut εὐρι$^{\pi}$ = εὐριπίδης. ἀριστοφα (litt. φ lineola trad.) = ἀριστο-

[1] Egit de iota ascripto Vsener in Fleckeiseni ann. 91 (1865) p. 236—263

φάνης. ἡρόδο$^{\tau}$ = ἡρόδοτος. δο$^{\tau}$ aut δοτιζ = δοτική. πλη$^{\vartheta}$ aut πληθυν$^{\tau}$ = πληθυντική. προ$^{\vartheta}$ = πρόθεσις. χω aut χ$^{\omega}$ = χωρίς. π$^{\varepsilon}$ = περί. κα$^{\tau}$ = κατά. ϛ = καὶ. φη (φ lin. trad.) = φησί. ἐνεστῶτ$^{o}$ = ἐνεστῶτος. ἀρ$^{\chi}$ τ̆ ω̄ στοι$^{\chi}$ = ἀρχὴ τοῦ ω̄ στοιχείου. eadem de causa notandum est ῑ προσγεγρ. in hoc codice saepe ascribi, non raro autem omitti; in annotatione huius rei rationem non dedi, nisi de iis verbis agebatur, quae tractata sunt hoc lexico. nec supervacuum est monere parvum spatium solere esse inter singula verba, maius (2—4 litterarum) inter singula capita.

Multas me viris doctis corruptelas tollendas lacunas explendas reliquisse per se stat.

f. 280 v Μινῷος σὺν τῷ ῑ, καὶ Μίνῳα τὸ παρεσχηματισμένον, ᾧ συνεξέδραμε καὶ τὸ μονογενὲς ὄνομα Μίνῳα ἡ νῆσσος, κτητικοῦ γὰρ τύπου. σημειωτέον δέ, ὅτι προπαροξύνεσθαι αἰτεῖ ἡ συστολὴ τοῦ ᾱ. Εὔπολις ᾿Αστρατεύτοις ʻὡς ἦρξε περὶ Μίνῳαν αὐτὸς οὑτοσί' καὶ ᾿Αλκαῖος Πασιφάῃ ʻΜίνῳαν ἀλλ' οἴμωζε σαυτὸν περιθέμενος'. τῇ γὰρ συστολῇ ταύτῃ ἀκολουθήσει καὶ τὸ προπαροξύνεσθαι. || μονῳδεῖν σὺν τῷ ῑ. ᾿Αριστοφάνης ʻεἶτα μονῳδεῖν ἐκ Μηδείας καὶ τάξ αὐτοῦ'. Κρατῖνος ῞Ωραις ʻβούλει μονῳδήσωμεν αὐτοῖς ἕν γέ τι;' καὶ πάλιν ʻοὐκ ἂν μονῳδήσειεν ἐκπεπληγμένος'. || μονῳδία σὺν τῷ ῑ, ἡ ἀπὸ σκηνῆς ᾠδὴ ἐν τοῖς

1 E. M. 741, 42: .. τὸ δὲ σῷος ἔλεγεν ὁ Δίδυμος σὺν τῷ ῑ γράφεσθαι ὡς ἀπὸ τοῦ τὸ σῶς τοῦ σῶ· τὰ γὰρ ἀπὸ τῶν (τοῦ codd.) εἰς ω̅ς̅ διὰ τοῦ ω̅ο̅ς̅ σὺν τῷ ῑ, Μίνως Μινῷος. E. M. 26, 41 (.. σὺν τῷ ῑ γράφεται καὶ προπερισπᾶται). Theognost., Cram. An. Ox. II 49, 19
9 Theogn., Cram. An. Ox. II 141, 7: τὰ παρ' ὄνομα εἰς δω̅ λήγοντα ῥήματα περισπώμενα ἀπὸ τῶν εἰς δος ὀνομάτων τῇ ω̅ι̅ διφθόγγῳ παραληγομένων γινόμενα φυλάττει τὴν ω̅ι̅ δίφθογγον ἐν τῇ πρὸ τέλους, οἷον μελῳδῶ ὑμνῳδῶ τραγῳδῶ. 14 Phot. lex.: μονῳδία ἡ ἀπὸ σκηνῆς ᾠδὴ ἐν τοῖς δράμασι, καὶ μονῳδεῖν τὸ θρηνεῖν· ἐπιεικῶς γὰρ πᾶσαι αἱ ἀπὸ σκηνῆς ᾠδαὶ ἐν τῇ τραγῳδίᾳ θρῆνοί εἰσιν. cf. Suid. s. v. μονῳδία.

10 μηδείας, μ ex δ corr. man. prior 10—11? 11 τὰ ἐξ cod. 14 ὡδη, η ex ου corr. man. pr.

δράμασι, καὶ μονῳδεῖν τὸ θρηνεῖν· ἐπιεικῶς γὰρ πᾶσαι αἱ ἀπὸ σκηνῆς ᾠδαὶ ἐν τῇ τραγῳδίᾳ θρῆνοί εἰσιν. ἐκαλοῦντο δὲ ἀπὸ σκηνῆς αἱ τῶν ὑποκριτῶν. Κρατῖνος Ὥραις. || Μουνυχίασιν οὐκ ἔχει τὸ ῐ· προείρηται δὲ περὶ τῶν τοιούτων. || Μυρτῷον

ἀρχ τν πέλαγος σὺν τῷ ῐ. Κρατῖνος Πυτίνῃ. || νᾷ σὺν τῷ ῐ μιᾷ συλλαβῇ. Σοφοκλῆς

f. 281 r Ἀθάμαντ[ι] ‛οἴνῳ γὰρ ἡμῖν Ἀχελῷοι ἄρα νᾷ’. || νεοσφ[ά]δ[ᾳστο]ν σὺν τῷ ῐ, καθὰ καὶ τὸ σφαδᾴ[ζ]ω. Σοφοκλῆς Κόλχοις. || νεῷ σὺν τῷ ῐ, ἡ ἑνικὴ δοτική. Θεόπομπός φησιν ‛ὁ δὲ ταῦρός ἐσ[τ]ιν ἀγόμενος πρὸς τῷ νεῷ’. καὶ πληθυντικὴ εὐθεῖα, ὡς οἱ Μενέλεῳ. Δημοσθένης ἐν τῷ κατὰ Ἀριστογείτονος ‛εἰσὶ ταῖς πόλεσι πάσαις βωμοὶ καὶ νεῴ πάντων τῶν θεῶν’. καὶ τοῖς νεῷς ἔχει τὸ ῐ κατὰ δοτικὴν πληθυντικήν. Πλάτων Νίκαις. || Νηρῇδες σὺν τῷ ῐ ὡς Βρισῇδες Ἐρεχθῇδες Καδμῇδες Οἰνῇδες Χρυσῇδες· συναιροῦντες γὰρ ἔλεγον Ἀττικοί· Νικοχάρης Γαλατείᾳ καὶ Εὐριπίδης πολλάκις. ἐπὶ δὲ τῆς εὐθείας ἑνικῆς Μένανδρος ‛Νηρῄς τις ἐπὶ δελφῖνος’. || νικῴη σὺν τῷ ῐ. Νικόμαχος Οἰδίποδι ‛ὅτι μὲν λῷστον, τόδε νικῴη’. || καὶ νικῶ δὲ χωρὶς τοῦ ῐ· τὸ εὐκτικὸν ἔχει τὸ ῐ. Κρατῖνος Διονύσοις ‛νικῶ μὲν ὁ τῇδε ποδὶ λέγω

3 Herod. π. μον. λ. II 929, 14 Lentz.: — σφαδᾴζω τερᾴζω ματᾴζω πρὸς τὸ ᾱ τὸ ι γραφόμενον ἔχοντα. cf. E. M. 737, 22 6 E. M. 616, 32: οἱ νεῴ, σὺν τῷ ῐ. πρῶτον ἀπὸ τοῦ οἱ Μενέλαοι καὶ οἱ ναοί γέγονε κατὰ τροπὴν τοῦ ō εἰς ῶ, καὶ μένει τὸ ῐ προσγεγραμμένον. δεύτερον δὲ κτλ. Choerob. dict. 450, 16 10 E. M. 604, 54: Νηρῇδες ἔχει τὸ ῐ· ἀπὸ γὰρ τοῦ Νηρηΐδες καὶ Βρισηΐδες καὶ Χρυσηΐδες καὶ Καδμηΐδες συνῃρέθη Νηρῇδες Βρισῇδες Χρυσῇδες καὶ Καδμῇδες. cf. Choerob. dict. 243, 33. Suid. s. v. Νηρῄς. Apoll. de pron. p. 87, 13 ed. Schneider.

1 ἀθάνατ [lac. 1—2 litt.] cod. 2 νεοσφ [1 litt.] δ [tum fort. prior pars litterae α, 3—4 litt.] ν cod. 3 σφαδα [2—3 litt.] ω, tum ν lineola del., σοφοκλῆς cod. 4 φησιν cod. per compend. (φ, cum linea traducta, et η); fort. Φινεῖ 6 εὐθεῖα] εὐ certo legi || Dem. 25, 34 13 νικόχαρις cod. 17 καὶ delendum; fort. interpunctio maior post prioris capitis finem a librario pro verbi καὶ compendio habita est 18 τοῦ η cod. || δὲ ante εὐκτικὸν inserendum?

τὸν λῷστον᾽. || νώ χωρὶς τοῦ ῑ, ἡ εὐθεῖα χωρὶς ὁμοίως τῇ αἰτιατικῇ· ὡς καὶ τὸ σφώ· ἀποκοπὴ γάρ ἐστιν, ἢ ὡς τινὲς διαφορὰ θέματος. Εὔπολις Μαρικᾷ ʻπεύσεσθε, νὼ γὰρ ἄνδρες οὔθ᾽ ἱππεύομεν᾽· καὶ ἐπὶ αἰτιατικῆς ὁ αὐτὸς ἐν Φίλοις. || νῷν ἔχει τὸ ῑ v ὡς καὶ τὸ σφῷν· ἐν συναιρέσει [ ]αγυνε ᾽Αττικῶς, καὶ ἴσως τὸ χαρακτηριστικὸν τῆς δοτικῆς ἔχει τὸ ῑ. Σοφοκλῆς ᾽Ιοβάτῃ ʻκα[ὶ νῷν τι σῆμα λαμπρὸν ἐνδεῖξαι βίου᾽. ὁ μέντοι ποιητὴς τῷ μετὰ τοῦ ν̄ ἀεὶ δ[ι]συλλάβως ἐχρήσατο. || (ἀρ τ ξ στοίχ) ξῆναι ὁ ἀόριστος ἀπὸ τοῦ ξαίνω οὐκ ἔχει τὸ ῑ, ὥσπερ οὐδὲ τὸ θερμῆναι ἰῆναι σημῆναι· προείρηται δέ. || ξυνῇ σὺν τῷ ῑ, τὸ κοινῇ. || ξυνῄρει σὺν τῷ ῑ, ἀντὶ τοῦ διεφθείρετο. Θουκυδίδης [Β] ʻἀλλὰ πάντα ξυνῄρει᾽. || ξυνῳδός σὺν τῷ ῑ. [Κ]αλλίας Πεδήταις ʻἴσως ξυνῳδὸς τῷ χρόνῳ γενήσεται τῆς δὴ γὰρ ἀγαθὸν χρῆμα καὶ ξυνῳδικόν᾽. || (ἀρ τ ο στοίχ) ὄλῃαι Τυραννίων προπερισπᾷ, καὶ δῆλον ὅτι τὸ ῑ προσγράφει οἰόμενος παρέλκειν τὴν αι̅· οὕτως καὶ ἐπὶ τοῦ ʻπρώτῃ ἐπαύρῃαι᾽ καὶ ʻἀφίκῃαι᾽.

23 Apoll. de pron. p. 85 Schneid.: — μονοσυλλάβως Εὔπολις Μαρικᾷ ʻνὼ γὰρ ἄνδρες οὐχ ἱππεύομεν᾽ καὶ ἔτι ἐν Φίλοις ʻεὐφρανῶ δὲ νώ᾽. cf. Herod. π. ᾽Ιλ. προσῳδ. ε 219 (II 49, 17 Lentz.). E. M. 609, 39

1 E. M. 610, 3: — ἡ νῶϊν καὶ ἡ σφῶϊν κατὰ συναίρεσιν γενόμεναι νῷν καὶ σφῷν κτλ. 14 E. M. 621, 32: ὄλῃαι Τυραννίων προπερισπᾷ καὶ τὸ ῑ προσγράφει οἰόμενος παρέλκειν τὴν αι̅. οὕτω καὶ ἐπὶ τοῦ ʻπρώτῃ ἐπαύρῃαι᾽. ἔστι δὲ μέσος ἀόριστος δεύτερος καὶ οὐ προπερισπᾶται οὐδὲ προσγράφεται τὸ ῑ. τὸ μέντοι ʻαὐτὸς ἐν ὀφθαλμοῖσιν ὄρῃαι᾽ ἐκ τοῦ ὄρεαι γίνεται ἐνεστῶτος (sic V; cet. ἐνεστὼς) ὡς ἀπὸ τῆς πρώτης συζυγίας κατ᾽ ἔκτασιν ὡς δίζεαι δίζηαι. λέγουσι γὰρ οἱ ῎Ιωνες ὀρέω ὡς ἀπὸ τῆς πρώτης συζυγίας. ῏Ωρος ὁ Μιλήσιος.

21 σφῶι cod. 23 fg. 188 K. || πεύσεσθαι νῶι cod. 24 οὐχ Apollon. l. l. 25 |ατικῆς, η ex οι corr. man. pr. || fg. 270 K. || νῶι cod.

1 [2 litt.] αγυ(ο?)νε 3 ᾽Ιοβάτῃ Nauck; ego leg.: ἰοκ [1 litt.] στῃ, neque vero potest cogitari Iocaste Sophoclis tragoedia 5 τῷ] τὸ cod. 10 Thuc. 2, 51 12 παιδήταις cod. || τῶι χρόνωι ex τοῦ χρόνου correct. videtur 14 ξυνωδικόν cod. 17 Il. 15, 17 || Od. 11, 122

ἔστιν δὲ μέσος β̄ ἀόριστος καὶ οὐ προπερισπᾶται οὐδὲ προσγράφεται τὸ ῑ. τὸ μέντοι ὄρηαι ἐκ τοῦ ὄρεαι γέγονεν ἐνεστῶτος ὡς ἀπὸ ᾱ συζυγίας κατ' ἔκτασιν, ὡς δίζηαι δίζεαι λέγουσιν οἱ Ἴωνες, καὶ ὄρηαι ὡς ἀπὸ ᾱ συζυγίας. || Ὀλυμπίασι ἄνευ τοῦ ῑ, ἐπεὶ καὶ Ὀλυμπίαζε καὶ Ὀλυμπίαθεν. || ὁμαρτῇ Ἀρίσταρχος ἄνευ τοῦ ῑ γράφει καὶ ὀξύνει ὡς ἀπὸ τοῦ
f. 282 r ὁμαρ[τήδην ἀποκεκομμέ]νον. οὐκ ἐπείσθη δὲ ἡ[παράδοσις λήγουσα] εἰς τὸ ῑ. || ὀξύπρῳρος σὺν [τῷ ῑ ὀξυ]πρ[ῴ]ρῳ ὀξυκέρωτι. Ἀχα[ιὸς || ὅπ]ῃ καὶ πῇ σὺν τῷ ῑ, ὡς προείρη[ται. || ] ὁπότερα ἀντὶ τοῦ ὁποτέρως [χωρὶς τοῦ ῑ] βραχυνομένου τοῦ ᾱ ὡς πότερα, [ἐκτεινο]μένου δὲ ἕξει τὸ ῑ ἔχον καὶ ἐπιρρημ[ατικήν τιν]α τάξιν. || ὀπίσω οὐκ ἔχει τὸ [ῑ. ἔστι δ'] ἴσως ἀπὸ τῆς ἐπί προθέσεως. || ὀρεσκ[ῷος σὺν] τῷ ῑ ὡς πατρῷος καὶ

23 cf. E. M. 25, 12  25 Schol. ven. A. Il. 5, 656: καὶ τῶν μὲν ἁμαρτῇ] τὸ ἁμαρτῇ δασέως. περισπᾷ δὲ καὶ ὁ Ἀσκαλωνίτης καὶ οἱ πλείους (ven. B: οἱ δὲ περὶ Ἡρωδιανὸν περισπῶσι). ὀξύνει δὲ ὁ Ἀρίσταρχος βουλόμενος αὐτὸ τοῦ ἁμαρτήδην ἀποκεκόφθαι· διὸ καὶ κατ' αὐτὸν χωρὶς τοῦ ῑ γεγράψεται. ἐπικρατεῖ μέντοι τὸ περισπώμενον γενόμενον παρὰ τὸ ἅμα καὶ τὸ ἀρτῶ. cf. ven. A in Il. 21, 162: — καὶ διελέγχει ἡ παράδοσις τὸν Ἀρίσταρχον ἔχουσα τὸ ῑ. E. M. 78, 20. E. M. 78, 27: δεῖ γινώσκειν ὅτι σὺν τῷ ῑ γράφεται· τὰ γὰρ εἰς η̄ λήγοντα ἐπιρρήματα ἔχουσι τὸ ῑ προσγεγραμμένον, οἷον ἄλλῃ πάντῃ κρυφῇ σπουδῇ εἰκῇ ὅπῃ πῇ κτλ.

2 cf. E. M. 692, 25: πρῷρα σὺν τῷ ῑ κτλ.  3 cf. Hesych. ὀξύπρῳροι· ὀξυκέρατοι  4 E. M. 78, 29  9 E. M. 628, 1: ὀπίσω ... γίνεται δὲ παρὰ τὴν ἐπί ... ἢ παρὰ τὸ ὀπίζω. cf. Choerob. Epim. 181, 21  10 Epim. Hom. Il. 1, 268: ὀρεσκῷος ... προπερισπᾶται καὶ διὰ τοῦ ω̄ μεγάλου γράφεται καὶ ἔχει τὸ ῑ προσγεγραμμένον. cf. E. M. 630, 10

20 Od. 14, 343  21 επέκτασιν cod.  22 δίζηε$^{αι}$ cod.  23 |ρηαι$^{ε}$ cod.; an καὶ ὄρηαι ὄρεαι ὡς?  25 ὁμαρτῆ cod.

3 συν [12—14 litt.] πρ [2 litt.], tum ρ litterae — ut videtur — pars inferior, ω ὀξυκέ  4 |ρατι legi || ἀ(?)χα[11-12 litt.]ηι  5 προειρ [litt. η prior pars, lac. 7—8 litt.] ὁποτέρα; nil supplendum censeo praeter verbi προείρηται ultimas litteras  6 ὁποτέρως [6 litt.] βραχυνομένου; scriptum erat χ$^{ω}$ τοῦ ῑ  8 τινα, α litt. certa videtur  9 κ ἔχει τὸ [5 litt.] ισως  10 ὀρεσκο [5 litt.] τῶ ῑ

τῷ τ[ ]αὶ οὐδ' ὅτι σύνθετόν ἐστιν ἀναπέ[μπει] τὴν προσῳδίαν κατεχομένην ὑπὸ [τῆ]ς γραφῆς· ὅτε γοῦν γίνεται ὀρέσκοος ὡς παρ' Ἀρχιλόχῳ, καὶ προπαροξύνεται. || ὄρηαι χωρὶς τοῦ ῑ· ἐκ γὰρ τοῦ ὄρεαι γέγονεν ἐνεστῶτος ὡς ἀπὸ α̅ συζυγίας, ὡς προείρηται. || ὀρῴην σὺν τῷ ῑ ὡς βιῴην. || οὐδαμῇ σὺν τῷ ῑ ὡς μηδαμῇ. Πλάτων ἐν τῷ περὶ ψυχῆς. τὸ δὲ οὐδαμά χωρὶς αὐτοῦ. || παλινῳδικοὶ ὕμνοι σὺν τῷ ῑ. Κρατῖνος Πανόπταις. || παμφαίνῃσι σὺν τῷ ῑ, καὶ τὸ ἔχῃσι φεύγῃσι, εἴτε ἐπὶ ὁριστικοῦ εἴτε ἐπὶ ὑποτακτικοῦ εἶεν· παρέλκει γὰρ ἡ σι̅. || πάντῃ σὺν τῷ ῑ καὶ πανσυδίῃ· ὀνοματικὰ γάρ. οὕτως καὶ τὸ πανστρατιᾷ καὶ πανολεθρίᾳ. ||

ἀρχὴ τοῦ π̿ στοῖ[χ]

v πατρῷος [σὺν τῷ ῑ, ὡς προείρηται, καὶ παππῷος [ παρατραγ[ῳδεῖν σὺν τῷ ῑ Σ]τ[ρ]άττις Φοινίσσαις. || [καὶ παρατραγῳδῆσαι] ʽπαρατραγῳδῆσαι τί μοι ἐκ[ . || ʽπαρ]ανεῳγμένης τῆς θύρ[ας' σὺν τῷ ῑ.] Ἀριστοφάνης Λημνίαις. || παρ[ῆας χωρὶς τοῦ ῑ ]ὸ φ ʽμάχη

21 E. M. 650, 7: παμφαίνῃσι ἔχῃσι καὶ τὰ τοιαῦτα ἔχει τὸ ῑ προσγεγραμμένον κατὰ τὴν παραλήγουσαν κτλ. 24 cf. E. M. 78, 29. 650, 54 (cod. V)

1 E. M. 26, 41 5 cf. Bekk. Anecd. 1, 60 (Phryn.): παρεῳγμένης τῆς θύρας· οἱ ἰδιῶται παρανεῳγμένης κτλ.

11 τῶι τ[4—5 litt.]αὶ 12 |ναπέ, tum litterae — ut vid. — prior pars, tum lac. 2 litt.;? 15 ὄρηα cod. || ε post ὄρεαι lineolis del. 17 fol. 281 v 20 19 cf. Plat. Phaed. 78 D. 97 B || οὐδαμᾶ cod. 20 παλινωιδικοὶ, ο ex η corr., cod.

1 παπρῶιος cod.; quamquam lacunae in hac folii parte eaedem sunt atque in recta, difficilius est de litterarum desideratarum numero iudicare, cum hic membranae hiatui alia membrana agglutinata sit glutineque evanuerint etiam plures litterae 3 Στράττις] τ̓ primam et τις ego legeram, Fraccaroli mihi scripsit αττις se cognoscere sed de ultima τ litt. se dubitare 6 Ἀριστοφάνης certum duco, quamquam paucae litterae, αρ et φα (per compend.) totae servatae sunt; ceterarum rudera haud repugnant 7 lac. circ. 12—14 litt. || ῑ, καθό φησι? || Od. 4, 497 (δέ τε)

δ' ἔτι καὶ σὺ παρῆας'· ἐπὶ [τινῶν δὲ παρ]ῆσθα ἐστίν καὶ ἔστιν ἐνεστῶτος [ ] γὰρ φήτ ἀργήλιος ἀπὸ τοῦ φη[ || χρ]ῄζω σὺν τῷ ῑ ἐπὶ τοῦ δεο[μένου ] γὰρ εἴρηται, παρ' ὃ καὶ ἡ χρ[ῆσις ] ἡ δέησις. Ἡρόδοτος Γ̄. || χρησμῳδό[ς σ]ὺν τῷ ῑ. Σοφοκλῆς Ταντάλῳ "Ἑρμῆς ἐδήλου τήνδε χρησμῳδὸν φάτιν'. παρ' ὃ καὶ ὁ χρηισμοδέληρος ἐν Σοφιστῇ Πλάτωνος καὶ χρησμῳδία. Εὐριπίδης Δανάῃ. καὶ χρησμῳδῷ καὶ χρησμῳδοίη. Δημοσθένης ἐν τῷ περὶ συμμοριῶν. || χρῴζω σὺν τῷ ῑ ὡς πλῴζω. Εὐριπίδης Μηδείᾳ. || χρῴμην χρῷο χρῷτο σὺν τῷ ῑ· εὐκτικὸν γάρ. Πλάτων Γοργίᾳ 'οὐκ ἂν ἔχοις ὅτι χρῷο'. || χρῷ σὺν τῷ ῑ ἡ δοτικὴ ἀπὸ τῆς χρώς εὐθείας παρ' Ἀττικοῖς. Σοφοκλῆς Αἴαντι Μαστιγοφόρῳ 'ξυρεῖ γὰρ ἐν χρῷ'. || χῷ ξυγ-

8 schol. Harl. Od. 4, 497: παρῆσθα] γρ. παρῆας, ἦν ἔα ἦα παρῆα καὶ παρῆας 10 E. M. 815, 4: χρῄζω ἡνίκα σημαίνει τὸ δέομαι, ἔχει τὸ ῑ προσγεγραμμένον· ἀπὸ γὰρ τοῦ χρέος γίνεται χρεΐζω καὶ τροπῇ τοῦ ε̄ εἰς η̄ χρηΐζω ... καὶ κατὰ συναίρεσιν χρῄζω ... ὅτε δὲ σημαίνει τὸ χρησμῳδῶ, ἄνευ τοῦ ῑ γράφεται καίπερ τῆς ἐτυμολογίας ἀπαιτούσης γράφεσθαι σὺν τῷ ῑ· παρὰ γὰρ τὴν χρείαν ἐστί κτλ. cf. 484, 49. Cram. An. Ox. II 279, 3 (Choerob.). II 142, 9 (Theognost.). 312, 22. Herod. π. παθ. II 332, 6 Lentz. Choerob. Epim. 28, 26 20 E. M. 677, 20: πλῴζω ἔχει τὸ ῑ· σημαίνει δὲ τὸ πλωΐζω ... καὶ κατὰ συναίρεσιν πλῴζω ὡς χρωΐζω χρῴζω. cf. E. M. 667, 25. 815, 53. Theogn. (Cram. An. Ox. II 142, 24) 23 Etym. Gud. 191, 31: ἐν χρῷ κόσμησις ... προσγραφομένου μὲν τοῦ ῑ ἡ κλίσις τοῦ χρωτός. Ἀττικῶς κτλ. cf. E. M. 313, 51 25 E. M. 816, 32: χῷ ξυμπόται χῷ ξυγγενεῖς, ἀντὶ τοῦ καὶ οἱ συμπόται καὶ οἱ συγγενεῖς, σὺν τῷ ῑ· οὕτω γὰρ λέγουσι τὸ μὲν ῑ τοῦ συνδέσμου ἐκθλίβοντες καὶ ποιοῦντες κρᾶσιν τοῦ ᾱο̄ εἰς τὸ ω̄ καὶ προσγράφουσι τὸ ῑ τῆς διφθόγγου τρέποντες καὶ τὸ κ̄ ἀναγκαίως εἰς τὸ χ̄, οἷον 'χῷ τυμπανισμοί'. οὕτως εὗρον εἰς τὴν ὀρθογραφίαν Ὥρου τοῦ Μιλησίου. cf.

8 ἦισθα cod. 12 ὃ] ὧι cod. 13 χρηισμωι (ι m. post.) δ, tum litterae ο pars inf., lac. 2 litt., ον τ̃ ι (corr., ex β?) 15 χρηισμωιδὸν cod. || ὃ] ὧι cod. 16 an χρησμῴδης λῆρος? in Platonis Sophista nil simile inveni 18 χρησμῶιδῶι cod. 19 Dem. 14, 25 (ubi χρησμῳδοῖεν) 20 Eur. Med. 484 (κεχρῴσμεθα) 21 εὐκτικόν; terminatio per compend. scripta incerta est 22 Plat. Gorg. 486 B (χρήσαιο) 24 Soph. Ai. 786 25 ξυρὶ cod.

γενεῖς χῴ ξυμπόται χῴ φυλέται σὺν
f. 283 r τῷ ῑ αἵ[ ]τ ῷιται βα. οὕτ[ω γὰρ λέ-
γουσι τὸ μὲν ἓν ῑ [ἐκθλί]βοντες, [κρᾶσιν οα'
δὲ ποιο[ῦντες τοῦ ᾱο̄] εἰς ω̄ καὶ [προσγρά-
φοντες τὸ δε[ύτερον ῑ, τ]ρέποντες κ[αὶ τὸ
κ̄ ἀναγκαίως εἰς τὸ [χ̄. 'χ]ῷ τυμπανι[σμοὶ
χῴ πυκνοὶ σα[β]άζιοι'. || ἀρχὴ τοῦ ψ̄ [στοιχείου
ψᾷστον σὺν τῷ [ῑ], πλακοῦς ποιὸς δια[
Ἀριστοφάνης Π[λο]ύτῳ. καὶ Θέων δὲ ἐν
τῷ περὶ τῆς κ[ατὰ] διάλεκτον προσῳδίας
φησί 'ψᾷστον. ἐκτείνουσι τὸ ᾱ, ὡς Εὐφρόνιος
ὁ γραμματικὸς ἐν ὑπομνήματι Πλούτου
Ἀριστοφάνους. καὶ ἴσως ἐστὶ τὸ ψᾷστον
παρὰ τὸ ψῇστον· γράφεται δὲ σὺν τῷ ῑ'. τὰ
αὐτὰ δὲ καὶ Σέλευκος λέγει. || ψεύσῃ σὺν τῷ ῑ,
τὸ ὑποτακτικόν. Ἕρμιππος Ἀγαμέμνονι
'κάτειπε πόθεν εἶ μηδέ ⟨τι⟩ ψεύσῃ μάτην'. || ψῇ
σὺν τῷ ῑ. Σοφοκλῆς Τραχινίαις 'καὶ ψῇ
κατ' ἄκρας'. || ψηλαφᾷ σὺν τῷ ῑ. Σοφοκλῆς
Διονυσίσκῳ 'ὅταν γὰρ αὐτῷ προσφέρω βρῶσιν
διδοὺς τὴν ῥῖνά μ' εὐθὺς ψηλαφᾷ κἄνω φέ-
ρει τὴν χεῖρα πρὸς φαλακρὸν ἡδὺ διαγελῶν'. || ἀρχ τ ω̄
ᾦα σὺν τῷ ῑ, τὸ κράσπεδον τοῦ ἱματίου. Ἀ- στοιχ

Suid.: χωξύγγιος (an χὠ ξυγγενής?) et χὠ ξυμπότης

7 Etym. Gud. 571, 53: ψαιστόν, ἔστιν εἶδος πλακοῦντος, ὃ δι' ἀλφίτων παρασκευάζεται κτλ. 22 E. M. 820, 6: ᾦα σημαίνει τὴν ἀνάκλασιν τοῦ κρασπέδου τοῦ ἱματίου· σὺν τῷ ῑ γράφεται. ἔστιν ὄϊς ὄϊος τὸ πρόβατον, καὶ συναιρέσει οἶς οἰός, τὸ θηλυκὸν οἴα καὶ κατ' ἔκτασιν τοῦ ο̄ εἰς ω̄ ᾦα. καὶ γὰρ οἱ ἀρχαῖοι προβάτων δέρματα ἔβαλλον ἐν τοῖς κρασπέδοις τῶν ἱματίων. ἢ ἀπὸ τοῦ οἶς τὸ κτητικὸν οἴειος, τὸ θηλυκὸν οἰεία, καὶ κατὰ συγκοπὴν καὶ αὔξησιν τοῦ ο̄ εἰς ω̄ ᾦα. τὸ δὲ οἶς παρὰ

26 |γενῆς (ει supra η) cod.

1 τῶ ῑ αἱ [1—2 litt.] τ(?) ῶιται [5—6 litt.] βα [2 litt.] οὐτ] tum initium litterae ω vel compendii ως; lac.] 2 βεντος legi 4 καί, litt. α pars infer. legitur 5 Arist. Lys. 388 ||ₑ χωι, litterae χ posterior pars leg. 6 βα [1—2 litt.] άζιοι cod. || in eadem linea (non in marg.): ἀρχ τοῦ ψ [lac.] 7 post δια prima hasta ν aut μ litterae leg. 8 Ar. Plut. 138. 1115 || πλούτωι, litt. λ prior pars leg. 9 ante διάλεκτον litt. ο linea del. 12 ἀριστοφάνης cod. 16 τι addidi || ψεύσηις cod. 17 Soph. Trach. 678 18 ἄκρα cod. || ψιλαφᾶι cod. 19 ῥῖνά μ' Nauck] ῥῖναν cod. 20 ψιλαφᾶι cod.

ριστοφάνης Δαιταλεῦσιν. δηλοῖ δὲ καὶ μηλωτήν, διφθέραν. Φερεκράτης Ἰπνῷ. καὶ ἴσως ἀ-πὸ τῶν προβατίων δερμάτων προσραπτομένων τοῖς ἐργατικοῖς ἱματίοις. ἔστιν οὖν οἰέα

v ]στορα[ καὶ συνα]λοιφῇ ῴα. ἔστι δὲ] καὶ διὰ μόνου τοῦ ō, ἡ ὄα. Αἰσχύλος] Ψυχοστασίᾳ. || ῴαί σὺν τῷ ῑ, εἴτε π]αρὰ τὸ ῷᾶ εἴτε παρὰ τὸ ὠαιαί. || ῳδή] σὺν τῷ ῑ, παρ' ὃ καὶ τὸ ῳδεῖον. Εὔπολις ἐν Χρ]υσῷ γένει. καὶ ῳδικός. Ἀριστοφάνης Γήρᾳ. καὶ ῳδικῶς. Πλάτων Ξάνταις. καὶ ῳδός, ἀλεκτρυών. ὁ αὐτὸς Φάωνι ʻτὸν ἀλεκτρυόνα τὸν ῳδὸν ἀποπνίξασά μουʼ. || ῴδησεν ἔχει τὸ ῑ. τινὲς καὶ παρὰ τῷ ποιητῇ ʻῴδεε δὲ χρόα πάνταʼ ἀντὶ τοῦ ῳδήκει, ἄμεινον δ' ἐστίν. || ὠδώδει χ[ω]ρὶς τοῦ [ῑ]. || ῳζυρέ σὺν τῷ ῑ· ὁ γὰρ οἰζυρός ἔγκειται. καὶ ῳζ[υ]ροί ὁμοίως. || ᾤκουν σὺν τῷ ῑ καὶ ῳκισάμην· οἰκῶ γὰρ καὶ οἰ[κίζ]ω ὁ ἐν[εσ]τώς. || ῳκοδόμησα σὺν τῷ ῑ, ὁμοίως καὶ

τὸ οἴω τὸ κομίζω. cf. Choerob. Epim. 183, 3. Bachm. Anecd. I 420, 17. Hesych. s. v. ὤα. Phot. s. v.: ὤα· μηλωτή, διφθέρα κτλ. cf. Suid. s. v. Theognost. Cram. An. Ox. II 106, 25: . . . διὰ τῆς ωῑ διφθόγγου γράφονται, οἷον ᾤα ἡ μηλωτή κτλ. Choerob., Cram. An. Ox. II 281, 12: ᾤα, τὸ τοῦ χιτῶνος ἄκρον, μετὰ τοῦ ῑ ἡ παράδοσις. schol. in Apoll. Arg. 4, 46: πέζαν] τὸ ἀπολῆγον τοῦ χιτῶνος, ὃ ἡμεῖς ᾤαν λέγομεν. τὸ γὰρ πρότερον ὑπὲρ τοῦ μὴ τρίβεσθαι δέρμα προβάτου προσέρραπτο.

2 E. M. 612, 37: ὄα . . . ὅπερ ἀπὸ τοῦ οἴα γέγονεν, ἐξ οὗ καὶ τὸ διὰ τῆς ωῑ διφθόγγου ᾤα (δηλοῖ δὲ δῆμον Ἀττικὸν καὶ τοῦ χιτῶνος τὸ ἄκρον), καὶ τὸ χρόα ἀπὸ τοῦ χροιά καὶ τὸ στόα ἀπὸ τοῦ στοιά κτλ. cf. Poll. 7, 62 3 Bekk. An. 538, 1 (Apoll.): . . . καὶ τῷ ὠοιοί τὸ ὠαιαί, ὅπερ συναλειφθὲν καὶ ἐν βαρείᾳ τάσει γινόμενον παρ' Αἰολεῦσίν ἐστιν ᾦαι· διότι καὶ τὸ ῑ πρόσκειται κράσεως γενομένης καὶ προσλήψεως. cf. Cram. An. Ox. II 281, 1 (Choerob.) 5 Cram. An. Ox. II 281, 11: ῳδή μετὰ τοῦ ῑ, παρὰ τὸ ᾄδω, ἀοιδή καὶ ῳδή. 10 Apoll. lex. Hom.: ὤδεε· ὦζεν. ἔνιοι ῳδήκει. ʻὤδεε δὲ χρόα πάνταʼ. 13 ὤκουν, cf. E. M. 820, 14

25 προσραπτομένων, cf. Schol. in Apoll.] παραραπτομένων cod. 26 ἐργαστικοῖς cod.; corr. Nauck

haec pagina in codice pessime servata est 1 στορα et λιφῆι legi 3 legi: ὦι(?)α συν τῶ ϊ 4 [lac. 5 litt.] αρα τὸ ὦια εἴτε παρα (per compend.) ο(?)ις ὠιαία 5 παρ ῶ cod. 7 ξανταισι cod. 10 Od. 5, 455 || legi ὦιδες 11 legi ἄμεινον δὲ. ἀνόδώδει 12 χ(?) [1 litt.] ρης [2 litt. lac.; τ litterae hasta adest] ου· · ὦιζυρέ 14 οἰ-[κίζ]ω, prior pars litt. κ agnoscitur 15 legi δ ἠν [2 litt.] πως

ᾠκοδομήσατο καὶ ᾠκοδομημένος ᾠκοδόμη[τ]αι καὶ ᾠκοδόμησας. || ᾠκούρεις σὺν τῷ ῑ, καὶ ᾠκούρηκεν, ἀπὸ τ[οῦ] οἰκουρῶ. || ᾠκτείρηται σὺν τῷ ῑ ὁμοίως· οἰκτείρω γάρ. || ᾠκτίζοντο σὺν τῷ ῑ· οἰκτίζω γάρ. Θουκυδίδης Β̄. || ᾤμην σὺν [τ]ῷ [ῑ· ᾤ]μην [γ]ὰρ ἦν ἀπὸ τοῦ οἴομαι. || ᾠμωγμένον σὺν τῷ ῑ· οἰμώζω γάρ. Εὐριπίδης Βάκχαις. [καὶ ᾦ]μοι· [π]αρ[ὰ γὰρ] τὸ οἴμοι. τὸ δὲ ὤμοι, ὅ γίνεται ἀπὸ τοῦ ὦ,] οὐκ ἔχει· οὐδ[ὲ] γὰρ οἰμωκτικὸν ἐν[ ]ῶμοι [ἀ]λλ[ὰ] ἠθικῶ[ς] κεῖται τὸ μοι

23 E. M. 822, 33: ᾦμοι· ἔστιν ἀναφώνημα λύπης δηλωτικόν. ἐκ τοῦ οἴμοι κατὰ ἔκτασιν τοῦ ο̅ εἰς ω̅ ᾦμοι... εἰ δὲ γράφεται χωρὶς τοῦ ῑ, γίνεται ἀπὸ τοῦ ὦ, ὤμοι. τὸ δὲ ὦ σχετλιαστικόν ἐστιν ἐπίρρημα κτλ. cf. E. M. 618, 11. Cram. An. Ox. I 450, 3. 314, 4. Bekk. An. 536, 28. Bachm. An. I 421, 22. Hesych. s. v. ᾦμοι.

16 post ᾠκοδομημένος legi αν (supra scriptum τ) (litterae τ annexa est linea curva υ litterae similis) 17 legi ὤικουρος 18 οἰκουρῶ, ω ex ου corr. 20 Thuc. 2, 51 22 Eur. Bacch. 1284 25 ἐν [7—8 litt.]

## Index auctorum

(asterisco notavi, quae adhuc ignota erant)

Αἰσχύλος (?). *Ψυχοστασία f. 283 v 3
Ἀλκαῖος. *Πασιφάη f. 280 v 6
Ἀρίσταρχος f. 281 v 25
Ἀριστοφάνης *f. 280 v 10. *Γῆρας f. 283 v 6. Δαιταλεῖς f. 283 r 22. (?) *Λημνίαι f. 282 v 6. Λυσιστράτη 388 f. 283 r 5. Πλοῦτος 138 f. 283 r 8
Ἀρχίλοχος *f. 282 r 14
Δημοσθένης 14, 25 f. 282 v 19. 25, 34 f. 281 r 6
Ἕρμιππος. *Ἀγαμέμνων f. 283 r 15
Εὔπολις. *Ἀστράτευτοι f. 280 v 6. Μαρικᾶς f. 281 r 23. Φίλοι f. 281 r 25. *Χρυσοῦν γένος f. 283 v 5
Εὐριπίδης f. 281 r 14. Βάκχαι 1284 f. 283 v 22. *Δανάη f. 282 v 17. Μήδεια 484 f. 282 v 20
Εὐφρόνιος ὁ γραμματικός. *Ὑπόμνημα Πλούτου Ἀριστοφάνους f. 283 r 10
Ἡρόδοτος f. 282 v 13
Θεόπομπος *f. 281 r 4
Θέων. *Περὶ τῆς κ[ατὰ] διάλεκτον προσῳδίας f. 283 r 8
Θουκυδίδης 2, 51 f. 281 v 10. 283 v 20
Καλλίας. *Πεδῆται f. 281 v 11
Κρατῖνος. *Διόνυσοι f. 281 r 18. *Πανόπται f 282 r 21. *Πυτίνη f. 280 v 21. *Ὧραι f. 280 v 11. *ib. 12. *ib. 18
Μένανδρος *f. 281 r 15
Νικόμαχος. *Οἰδίπους f. 281 r 16
Νικοχάρης. *Γαλατεία f. 281 r 13
Ὅμηρος f. 281 v 5. Ο 17. f. 281 v 17. δ 497 f. 282 v 7. ε 455 f. 283 v 10. λ 122 f. 281 v 17
Πλάτων. *Νῖκαι f. 281 r 10. *Ξάνται f. 283 v 7. *Φάων f. 283 v 8
Πλάτων. Γοργίας 486 B f. 282 v 22. Σοφιστής f. 282 v 16. Φαίδων 78 D f. 282 r 19
Σέλευκος *f. 283 r 14
Σοφοκλῆς. *Ἀθάμας (?) f. 280 v 22. Αἴας μαστιγοφόρος 786 f. 282 v 24. *Διονυσίσκος f. 283 r 18. *Ἰοβάτης f. 281 v 3. *Κόλχοι f. 281 r 3. *Τάνταλος f. 282 v 14. Τραχίνιαι 678 f. 283 r 17
Στράττις (?). *Φοίνισσαι f. 282 v 3
Τυραννίων f. 281 v 14
Φερεκράτης. *Ἰπνός f. 283 r 24

f. 280 v 10—11: Arist. Pac. 1012. lege: ..ἐκ Μηδείας'. καὶ τὰ ἐξ αὐτοῦ·

Scribebam Hannoverae. Hugo Rabe.